**Τρίτη 25 Μαρτίου. Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.**

**Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν**

## Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ

Τῇ παραμονῇ τοῦ Εὐαγγελισμοῦ, μετὰ τὴν ἀπόλυσιν τῶν ὡρῶν ἀρχόμεθα εὐθὺς τοῦ μεγάλου ἑσπερινοῦ τῆς ἑορτῆς ἄνευ μετανοιῶν καὶ στιχολογίας, οὕτω:

Λαμβάνει καιρὸν ὁ ἱερεὺς καὶ ὁ διάκονος, καὶ ἐνδύονται τὰς στολὰς αὐτῶν· ἐξελθὼν δὲ ὁ διάκονος λέγει· *Εὐλόγησον δεσπότα,* καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός*…ὁ δὲ προεστὼς τό· *Δεῦτε προσκυνήσωμεν*…ἐκ γ' καὶ ἀναγινώσκει τὸν προοιμιακόν, μεθ' ὃν συναπτὴ μεγάλη. Καὶ εὐθὺς τό· *Κύριε ἐκέκραξα*…ἐν ᾧ ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας· *Μεγαλοῤῥήμων Φαρισαῖος*… δίς, τὸ δὲ μαρτυρικὸν οὐ ψάλλεται· εἶτα τὰ γ' προσόμοια τοῦ Τριῳδίου· *Μέσον διϊππεύοντες σήμερον*…*Πάθη ταπεινώσωμεν*…*Νῦν τὸν Σταυρὸν προσκυνοῦντες*…καὶ τῆς ἑορτῆς τὰ γ' προσόμοια· *Βουλὴν προαιώνιον*… *Φαίνῃ μοι ὡς ἄνθρωπος*…*Θεὸς ὅπου βούλεται*…ποιοῦντες αὐτά ε', ἤτοι δευτεροῦντες τὰ δύο πρῶτα. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἀπεστάλη ἐξ οὐρανοῦ*…Εἴσοδος μετὰ θυμιατοῦ, τό· *Φῶς ἱλαρόν*…Εἶτα τὰ δύο ἀναγνώσματα τοῦ Τριωδίου· α'. *Εἶπε Κύριος ὁ Θεός*…(Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφάλαιον Η' 21-22, Θ' 1-7) καὶ β'. *Υἱὸς δίκαιος γεννᾶται*…(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφάλαιον ΙΑ' 19-31, ΙΒ' 1-6), καὶ τὰ γ' ἀναγνώσματα τῆς Ἑορτῆς· α'. *Ἐξῆλθεν, Ἰακὼβ ἀπὸ τοῦ φρέατος*…(Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφάλαιον ΚΗ' 10), β.' *Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης*…(Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφάλαιον ΜΓ' 27), γ'. *Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον*…(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφάλαιον Θ' 1). Εἰθ' οὕτως τό· *Κατευθυνθήτω*…καὶ ἡ λειτουργία τῶν προηγιασμένων. Κοινωνικόν· *Γεύσασθε καὶ ἴδετε*…Εἶτα τό· *Εὐλογήσω τὸν Κύριον*…Γίνονται δὲ καὶ αἱ συνήθεις γ' μεγάλαι μετάνοιαι εἰς τό·

*Κατευθυνθήτω*…εἰς τό· *Νυν αἱ δυνάμεις*…καὶ εἰς τὸ· *Εἴη τὸ ὄνομα Κυρίου*… ὡς ἔθος.

Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς λειτουργίας, εἰσερχόμεθα εἰς τὴν τράπεζαν καὶ ἐσθίομεν ἔλαιον πίνοντες καὶ οἶνον, διὰ τὴν δόξαν καὶ ἀντίληψιν τῆς ὑπεραγίας Θεοτόκου καὶ διὰ τὸν κόπον τῆς ἀγρυπνίας.

## Ἐν τῷ ἀποδείπνῳ

Τῇ δὲ παραμονῇ ἑσπέρας, περὶ ὥραν πρώτην τῆς νυκτός, σημαίνει καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ. Εὐλογοῦντος δὲ τοῦ ἱερέως ἀναγινώσκομεν χῦμα καὶ ἄνευ μετανοιῶν τὸ μέγα ἀποδεῖπνον, λέγοντες ἀντὶ τῶν συνήθων τροπαρίων, εἰς μὲν τὸ β' τρισάγιον τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*…χῦμα, εἰς δὲ τὸ γ' τρισάγιον τὸ κοντάκιον αὐτῆς· *Τῇ ὑπερμάχῳ*…ἀναγινώσκομεν δὲ τὸ μέγα ἀποδεῖπνον μέχρι τῆς δοξολογίας συμπεριλαμβανομένης. Καὶ μετὰ τῷ· *Δόξα ἐν ὑψίστοις Θεῷ*…ἐξερχόμεθα εἰς τὸν νάρθηκα ποιοῦντες τὴν συνήθη λιτήν, καὶ ψάλλομεν τὰ ἰδιόμελα τῆς ἑορτῆς· *Τῷ ἕκτῳ μηνί*…*Ἐν τῷ μηνὶ τῷ ἕκτῳ*…*Ἀπεστάλη ἄγγελος*…Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον· *Εὐαγγελίζεται ὁ Γαβριήλ*…Καὶ λέγει ὁ ἱερεὺς τὰς συνήθεις δεήσεις καὶ εὐχὰς τῆς λιτῆς.

Εἶτα εἰσερχόμεθα ἐν τῷ ναῷ ψάλλοντες τὰ ἀποστιχα τῆς ἑορτῆς· *Τῷ ἕκτῳ μηνὶ ἀπεστάλη ὁ ἀρχάγγελος*…*Γλῶσσαν ἣν οὐκ ἔγνω*…*Ἰδοὺ ἡ ἀνάκλησις*…Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον· *Σήμερον χαρᾶς Εὐαγγέλια*…Τό· *Νῦν ἀπολύεις*…καὶ τὸ τρισάγιον. Εἶτα τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*…ἐκ τρίτου. Καὶ γίνεται ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἡ διάδοσις κατὰ τὸν τύπον. Εἶτα χῦμα τὸ· *Εἴη τὸ ὄνομα Κυρίου*…ἐκ γ'. Δόξα…Καὶ νῦν…ὁ ἥμισυ ψαλμὸς· *Εὐλογήσω τὸν Κύριον*…τὸ· *Πλούσιοι ἐπτώχευσαν*…καὶ τίθεται ἀνάγνωσις εἰς τὸν λόγον τῆς ἑορτῆς. Μετὰ δὲ τὴν ἀνάγνωσιν, εὐθὺς τὸ· *Δόξα ἐν ὑψίστοις Θεῷ*…καὶ ὁ ἑξάψαλμος, καὶ οὕτω ἀρχόμεθα τοῦ ὄρθρου.

## Ἐν τῷ ὄρθρῳ

Μετὰ τὸν ἑξάψαλμον, τό· *Θεὸς Κύριος*...καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*...ἐκ γ'. Εἶτα στιχολογοῦμεν τρία καθίσματα ὡς ἔθος, καὶ τὸν πολυέλεον. Μετὰ τὴν α' στιχολογίαν (Ι' κάθισμα τοῦ Ψαλτηρίου), κάθισμα τοῦ Τριῳδίου τοῦ κὺρ Ἰωσήφ· *Ἐγκρατείᾳ λαμπρύναντες*...Δόξα...τὸ κάθισμα τοῦ κὺρ Θεοδώρου· *Ὥσπερ ζωὴν τῆς Κτίσεως*...Καὶ νῦν...τὸ θεοτοκίον αὐτοῦ· *Χαῖρε ἡ δι' Ἀγγέλου*... Μετὰ τὴν β' στιχολογίαν (ΙΑ' κάθισμα τοῦ Ψαλτηρίου), κάθισμα τῆς ἑορτῆς· *Ὁ μέγας στρατηγός*...Δόξα...Καὶ νῦν· *τὸ αὐτό*...Μετὰ τὴν γ' στιχολογίαν (ΙΒ' κάθισμα τοῦ Ψαλτηρίου), κάθισμα τῆς ἑορτῆς· *Σήμερον ἅπασα*...Δόξα...Καὶ νῦν· *τὸ αὐτό*...Εἶτα ὁ πολυέλεος μεθ' ὃν κάθισμα τῆς ἑορτῆς· *Γαβριὴλ ἐξ οὐρανοῦ*...Δόξα τὸ αὐτό...Καὶ νῦν· *Ἀπεστάλη Γαβριήλ*...Οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Προκείμενον· *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*...Στίχος· *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν*. Τὸ· *Πᾶσα πνοή*...Εὐαγγέλιον τῆς ἑορτῆς· *Ἀναστᾶσα Μαριάμ*... Ὁ ν' ψαλμὸς χῦμα. Δόξα· *Ταῖς τῆς Θεοτόκου*...Καὶ νῦν· *τὸ αὐτό*...Εἰς τὸν στίχον τὸ ἰδιόμελον· *Εὐαγγελίζεται ὁ Γαβριήλ*...

**Εἶτα ψάλλομεν τὸν κανόνα** τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν· λέγομεν δὲ τοὺς μὲν εἱρμοὺς ἐκ δευτέρου, τὰ δὲ τροπάρια εἰς ιβ' καὶ μεθ' ἑκάστην ᾠδὴν αὖθις τὸν εἱρμὸν αὐτῆς ὡς καταβασίαν. Οὐ λέγομεν δὲ στίχους ἐκ τῆς στιχολογίας, ἀλλὰ τοὺς μὲν εἱρμοὺς ἄνευ τινὸς στίχου, τὰ δὲ τροπάρια μετὰ τοῦ· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*, εἰς δὲ τὰ δυὸ τελευταῖα τό· *Δόξα*...καὶ τό· *Καὶ νῦν*...Τὰ δὲ τριῴδια τῆς ἡμέρας καταλιμπάνονται. Ἀπὸ γ' ᾠδῆς κάθισμα τῆς ἑορτῆς· *Ὁ Λόγος τοῦ Θεοῦ*... Δόξα...Καὶ νῦν· *τὸ αὐτό*...Ἀφ' ἕκτης, χῦμα τὸ κοντάκιον τῆς ἑορτῆς· *Τῇ Ὑπερμάχῳ*...καὶ ὁ οἶκος αὐτῆς· *Ἄγγελος πρωτοστάτης*...Ἡ τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλὰ ψάλλεται μόνη ἡ θ' ᾠδὴ τῆς ἑορτῆς εἰς ιδ'· λέγομεν δὲ καὶ πρὸ τοῦ εἱρμοῦ καὶ πρὸ ἑκάστου τροπαρίου τὸ μεγαλυνάριον· *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην*...εἰς δὲ τὰ δύο τελευταῖα τροπάρια πρὸ

τοῦ μεγαλυναρίου λέγομεν καὶ τό· *Δόξα*...καὶ τό· *Καὶ νῦν*...ὡς ἔθος. Εἶτα ἡ καταβασία· *Εὐαγγελίζου γῆ χαράν*...*Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ*...

**Ἐξαποστειλάρια** τὰ δύο τῆς ἑορτῆς· *Ἀγγελικῶν δυνάμεων*...καὶ· *Χαῖρε κατάρας λύτρωσις*...Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' στιχηρὰ τῆς ἑορτῆς· *Τῶν οὐρανίων ἀψίδων*...*Ὁ Γαβριὴλ τῇ Παρθένῳ*...*Ὁ συναΐδιος λόγος*...δευτεροῦντες τὸ α'. Δόξα...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Τὸ ἀπ' αἰῶνος μυστήριον*...Καὶ εὐθὺς χῦμα τό· *Σοι δόξα πρέπει*...ὁ δὲ ἱερεὺς τό· *Πληρώσωμεν*...Εἰς τὸν στίχον τὸ ἰδιόμελον τῆς ἡμέρας· *Τοῦ μεγαλαύχου Φαρισαίου*...δὶς καὶ τὸ μαρτυρικόν· *Μεγιστον ἀγῶνα ἠθλήσατε*...Δόξα...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Εὐφραινέσθωσαν οἱ οὐρανοί*...Εἶτα τό· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*...τὸ τρισάγιον, τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*... καὶ ἡ ἐκτενής. Μεθ' ἣν λέγει ὁ ἱερεύς· *Σοφία*...*Ὁ ὢν εὐλογητός*...ὁ προεστὼς τό· *Ἐπουράνιε Βασιλεῦ*...καὶ γίνονται αἱ γ' μεγάλαι μετάνοιαι μόνον. Μετ' αὐτὰς δὲ εὐθύς· *Δεῦτε προσκυνήσωμεν*...ἐκ γ' καὶ συνάπτομεν τὴν α' ὥραν καὶ μετ' αὐτὴν ἀπόλυσις. Εἶτα δίδοται τὸ ἅγιον ἔλαιον, ψαλλομένων τῶν ἰδιομέλων τῆς ἑορτῆς, καὶ εἶτα τελεία ἀπόλυσις.

## Ἐν ταῖς ὥραις

**§ 1.** Ἐν ταῖς ὥραις στιχολογοῦμεν τὰ καθίσματα αὐτῶν: ἐν τῇ γ' τὸ ΙΓ' κάθισμα τοῦ ψαλτηρίου, ἐν τῇ ϛ' τὸ ΙΔ' κάθισμα τοῦ ψαλτηρίου καὶ ἐν τῇ θ' τὸ ΙΣΤ' κάθισμα τοῦ ψαλτηρίου. Λέγομεν δὲ, Δόξα...τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον*...Καὶ νῦν... τὸ θεοτοκίον τῆς ὥρας. Εἰς δὲ τὸ τρισάγιον ἑκάστης τὸ κοντάκιον τῆς ἑορτῆς· *Τῇ Ὑπερμάχῳ*...ποιοῦμεν δὲ ἐν ἑκάστῃ μετὰ τό· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς*...τὰς γ' μεγάλας μετανοίας μόνον. Χῦμα δὲ λέγομεν τό· *Τὰ διαβήματά μου*...ἐν τῇ α' ὥρᾳ.

**§ 2.** Τῇ δὲ κε' τοῦ μηνὸς περὶ ὥραν τρίτην τῆς ἡμέρας σημαίνει, καὶ συναχθέντες ἐν τῷ ναῷ, λέγομεν ὡς ἀνωτέρω τὴν τριθέκτην, ἐν ῇ ἀναγινώσκομεν καὶ τὸ τροπάριον τῆς προφητείας καὶ τὴν προφητείαν τοῦ

Τριῳδίου: *Κύριε ὁ Θεός μου, δοξάσω σέ*...(Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα. Κεφάλαιον ΚΕ' 1-9). Ἀνάγνωσις δὲ γίνεται εἰς τὸ· *Πάλιν χαρὰς εὐαγγέλια*...Καὶ μετὰ τὴν εὐχὴν τῆς ϛ' ὥρας, ἀπόλυσις.

**§ 3.** Περὶ δὲ ὥραν θ' τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες λέγομεν ὁμοίως τὴν θ' ὥραν· μετὰ δὲ τὰς γ' μεγάλας μετανοίας αὐτῆς, ἀναγινώσκομεν χῦμα καὶ ἄνευ μετανοιῶν τοὺς μακαρισμούς, μετὰ τῶν τροπαρίων αὐτῶν καὶ τοῦ· *Πιστεύω*...Τὸ· *Ἄνες ἄφες, συγχώρησον*...*Πάτερ ἡμῶν*...*Ὅτι σοῦ ἐστιν*...καὶ τὸ κοντάκιον τῆς ἑορτῆς· *Τῇ Ὑπερμάχῳ*...Τὸ· *Κύριε ἐλέησον* μ'. *Ὁ ἐν παντὶ καιρῷ*...καὶ αἱ γ' μεγάλαι μετάνοιαι. Εἶτα τρισάγιον, *Κύριε ἐλέησον* ιβ' καὶ αἱ εὐχαὶ· *Παναγία Τριάς*...καὶ· *Δεσπότα Κύριε Ἰησοῦ Χριστέ*...καὶ γίνεται ἀπόλυσις μικρά. Εὐθὺς δὲ ἀρχόμεθα τοῦ ἑσπερινοῦ μετὰ τῆς λειτουργίας τῆς ἑορτῆς, ἄνευ στιχολογίας, ὡς κάτωθι.

## Εἰς τὴν Λειτουργίαν

Μετὰ τὴν ἀνωτέρω μικρὰν ἀπόλυσιν τῶν ὡρῶν, λαμβάνει καιρὸν ὁ ἱερεὺς καὶ ὁ διάκονος καὶ ἐνδύονται τὰς στολὰς αὐτῶν. Ἐξελθὼν δὲ ὁ διάκονος ἐκφωνεῖ· *Εὐλόγησον δεσπότα*, καὶ ὁ ἱερεὺς· *Εὐλογημένη ἡ βασιλεία*...Ὁ δὲ πρωεστὼς τὸ· *Δεῦτε προσκυνήσωμεν*...ἐκ γ' καὶ ἀναγινώσκει τὸν προοιμιακὸν ψαλμόν, μεθ' ὃν συνάπτὴ μεγάλη. Στιχολογία οὐ γίνεται, ἀλλ' εὐθὺς ψάλλομεν τὸ· *Κύριε ἐκέκραξα*...ἐν ᾧ ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας· *Νικῶν τὸν Τελώνην τοῖς παραπτώμασιν*...δὶς (ἄνευ μαρτυρικοῦ), τὰ γ' προσόμοια τοῦ Τριῳδίου· *Δεῦτε προσκυνήσωμεν*...*Κράτος ἀπροσμάχητον*...*Δάκρυσι καθάραντες*... τῆς ἑορτῆς ἰδιόμελα γ'· *Τῷ ἕκτῳ μηνὶ ἀπεστάλη ἀρχάγγελος*...*Γλῶσσαν ἣν οὐκ ἔγνω*...*Ἰδοὺ ἡ ἀνάκλησις*...δευτεροῦντες τὸ α', καὶ τὰ γ' προσόμοια τὰ ἀρχαγγέλου· *Γαβριὴλ ὁ μέγιστος ὁ νοῦς*...*Τὸ μέγα μυστήριον τὸ πρίν*...*Φωτὸς ὢν ἀνάπλεως ἀεί*...Λέγομεν δὲ εἰς τὰ δύο τελευταῖα προσόμοια τοῦ ἀρχαγγέλου καὶ τοὺς στίχους τοῦσδε: **α'**. *Εὐλογεῖ ἡ ψυχή μου τὸν Κύριον*, καὶ **β'**. *Ὁ ποίων τοὺς ἀγγέλους αὐτοῦ πνεύματα*...Εἶτα,

Δόξα...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἀπεστάλη ἐξ οὐρανοῦ...* Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τὸ Φῶς ἱλαρόν. Εἶτα τὰ ἀναγνώσματα τοῦ Τριῳδίου μετὰ τῶν προκειμένων αὐτῶν: **α'.** *Εἶπε Κύριος ὁ Θεὸς τῷ Νῶε...*(Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφάλαιον Θ' 8-17), **β'.** *Στόμα συνετοῦ ἐγκωμιάζεται...*(Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφάλαιον ΙΒ' 8-22), καὶ εἶτα τὰ δύο τῆς ἑορτῆς: **α'.** *Εἰσῆλθε Μώσης...*(Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Κεφάλαιον Γ' 2) καὶ **β'.** *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ...* (Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφάλαιον Η' 22). Μεθ' ἅ, εὐθὺς μικρὰ συναπτή, *Τοῦ Κυρίου δεηθῶμεν...Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...*Καὶ ψάλλομεν τὸν τρισάγιον ὕμνον. Εἶτα προκείμενον τοῦ ἀποστόλου, ἀπόστολος, ἀλληλουϊάριον καὶ εὐαγγέλιον τῆς ἑορτῆς, ἤτοι: Ἀπόστολος· *Ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι...*(Πρὸς Ἑβραίους. Κεφάλαιον Β' 11-18) καὶ Εὐαγγέλιον· *Συνέλαβεν ἡ γυνὴ Ζαχαρίου...*(Κατὰ Λουκᾶν. Κεφάλαιον Α' 24-38). Καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Εἰς τὸ ἐξαιρέτως τὸ· *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην...Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ...* Κοινωνικὸν· *Ἐξελέξατο Κύριος τὴν Σιών...*Εἶτα τὸ· *Εἴδομεν τὸ φῶς...Πληρωθήτω... Εἴη τὸ ὄνομα Κυρίου...*

Εἰς δὲ τὴν τράπεζαν, γίνεται παράκλησις τοῖς ἀδελφοῖς μεγάλη· ἐσθίομεν γὰρ ὀψάριον καὶ πίνομεν καὶ οἶνον εἰς δόξαν τῆς ὑπεραγίας Θεοτόκου.

## Ἐν τῷ ἀποδείπνῳ

Ἑσπέρας δὲ τῆς κε' περὶ ὥραν ια' τῆς ἡμέρας, λέγομεν τὸ μέγα ἀποδεῖπνον ἐν τῷ νάρθηκι χῦμα ἄνευ μετανοιῶν καὶ κανόνων. Πλὴν μετὰ τὸ· *Δόξα ἐν ὑψίστοις Θεῷ*..εἰς τὸ τρισάγιον ποιοῦμεν τὰς γ' μικρὰς μετανοίας, καὶ ἀκολούθως χῦμα τὸ· *Κύριε τῶν δυνάμεων...*καὶ τὰ ἐφεξῆς. Μετὰ δὲ τὸ· *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς...*ποιοῦμεν τὰς τετυπωμένας ις' μετανοίας, μεθ' ἃς τὸ τελευταῖον τρισάγιον καὶ μετανοίας μικρὰς γ', *Κύριε ἐλέησον ιβ'* καὶ αἱ εὐχαὶ· *Ἄσπιλε ἀμόλυντε...* καὶ αἱ λοιπαί, μεθ' ἃς ἀπόλυσις. Καὶ οὕτω λήγει ἡ ἑορτὴ ἀποδιδομένη.

Τῇ δὲ κϛ' τοῦ μηνός, πρωΐ, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας τοῦ Τριῳδίου ὡς συνήθως· καὶ μόνον ὁ κανὼν τοῦ ἀρχαγγέλου λέγεται μετὰ τῶν τριῳδίων, καὶ τὰ ἀπὸ γ' ᾠδῆς καθίσματα αὐτοῦ, οὐδὲν δὲ ἕτερον ἐκ τῶν τῆς ἑορτῆς.